# TEZAUR LITURGIC

## 29 MAI

## MELETIE SIRIGUL

# SLUJBA
# SF.CUVIOASE-MUCENIȚE
# TEODOSIA
# DE LA
# CONSTANTINOPOL

ATENA,2015


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC

# ΤΗ ΚΘ' ΜΑΪΟΥ

# Μνήμη της Αγίας Οσιομάρτυρος Θεοδοσίας της Κωνσταντινουπολιτίσσης

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Μελέτιος Συρίγος**

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια της Εορτής γ' και της Αγίας γ'. Στιχηρά της Αγίας.

Ήχος πλ. δ'. Ω του παραδόξου θαύματος

Αίγλη παρθενίας λάμπουσα, Θεοδοσία σεμνή, και πορφύραν δι' αίματος, μαρτυρίου πάνσοφε, βεβαμμένην λαμπρότατα, περιθεμένη και υπερκόσμιον, Χριστού νυμφώνα κατασκηνώσασα, κόρη πανάμωμε, συγχορεύεις τάξεσιν, Αγγελικαίς, όντως ακατάλυτον, χορείαν ένδοξε.

Μάρτυς παρθένε πανεύφημε, Θεοδοσία Χριστόν, ολοκλήρως ποθήσασα, των βασάνων ήνεγκας, τας πληγάς καρτερώτατα, αικιζομένη δια τον σον εραστήν, και ξεομένη πλευράς ταις μάστιξιν· Ω των αγώνων σου, καρτεράς ενστάσεως! δι' ης προς γην, όντως καταβέβληκας, τον υπερήφανον.

Κάλλει ψυχής τε και σώματος, κεκοσμημένη φαιδρώς, τω Χριστώ προσενήνεξαι, τον της δόξης στέφανον, παρ' αυτού αναδήσασθαι, Θεοδοσία Μάρτυς πανένδοξε, και βασιλείας σαφώς διάδημα, όντως πολύτιμον, επαξίως δέδεξαι, ση κορυφή, νύμφη παναμώμητος, φανείσα πάνσοφε.

Δόξα. Ήχος δ' .

Τη φερωνύμω σου κλήσει, την πράξιν κατάλληλον έδειξας, ως αληθώς τη παρθενική σου καθαρότητι, νυμφευθείσα τω Χριστώ, ευδοκία του Πατρός, και συνεργεία Πνεύματος. Μαρτυρίου δε παλαίσμασι στερροίς, υπερήστραψας, λαμπρότερον των ηλιακών ακτίνων. Διο ως θυσία καθαρά και άμωμος, τη ουρανίω προσήχθης τραπέζη, των Παρθένων και Μαρτύρων ταις χορείαις, εις αιώνας συνηδομένη. Μεθ' ων αίτησαι, Θεοδοσία φερώνυμε, δωρηθήναι τοις τιμώσί σε το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Ο δια σε Θεοπάτωρ προφήτης Δαυΐδ, μελωδικώς περί σου προανεφώνησε, τω μεγαλεία σοι ποιήσαντι. Παρέστη η Βασίλισσα εκ δεξιών σου. Σε γαρ μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σου ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα την εαυτού αναπλάση εικόνα, φθαρείσαν τοις

πάθεσι, και το πλανηθέν ορειάλωτον ευρών, πρόβατον τοις ώμοις αναλαβών, τω Πατρί προσαγάγη, και τω ιδίω θελήματι, ταις ουρανίαις συνάψη Δυνάμεσι, και σώση Θεοτόκε τον κόσμον, Χριστός ο έχων, το μέγα και πλούσιον έλεος.

Είσοδος. Φως ιλαρόν. Προκείμενον της ημέρας, και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα. (Κεφ. λα 10- 26)

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστον ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς εμπορευόμενη μακρόθεν, συνάγει δε αύτη τον βίον. Και ανίσταται εκ νυκτών, και έδωκε βρώματα τω οίκω, και εργατάις θεραπαίναις. Θεωρήσασα γεώργιον επρίατο, από δε καρπών χειρών αυτής, κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο, ότι καλόν εστί το εργάζεσθαι, και ουκ αποσβέννυται όλην την νύκτα ο λύχνος αυτής. Τας χείρας αυτής εκτείνει επί τα συμφέροντα, τους δε πήχεις αυτής ερείδει εις άτρακτον. Χείρας δε αυτής διήνοιξε πένητι, καρπόν δε εξέτεινε

πτωχώ. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (Κεφ. Μγ 9-14).

Τάδε λέγει Κύριος· Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς, η τα εξ αρχής τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις ον εξελεξάμην· ίνα γνώτε και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός ότι απ' αρχής εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος υμάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία,

σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη και κρατήσουσι λαών και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτῷ, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν. Ήχος πλ. δ .

Ω της του Σταυρού σου ισχύος Παντοδύναμε Κύριε, ότι το πάθημα του θανάτου, εκ της ασθενείας της εμής σαρκός καταδεξάμενος, τη της Θεότητός σου δυνάμει, την ημετέραν ενεδυνάμωσας ασθένειαν. Και γαρ ως ο πάλαι Αδάμ, οστούν κραταιότητος, τω ασθενεστέρω σκεύει δανείσας, σάρκα ταπεινήν εδέξω αντ' αυτού, διο και απαλή κόρη, κατά του αρχεκάκου δράκοντος ανδριζομένη, και

τούτου την αλαζονείαν καταπατήσασα, δοξάζει Σε τον μόνον αγωνοθέτην, και στεφοδότην Κύριον, τον παρέχοντα ταις ψυχαίς ημών, το μέγα έλεος.

Εις τον Στίχον. Ήχος β . Ποίοις ευφημιών.

Ποίοις, πνευματικοίς άσμασιν, επαινέσωμεν Θεοδοσίαν, των μοναζουσών το καλλώπισμα, και το των Μαρτύρων αγλάϊσμα, της Ορθοδοξίας την κρηπίδα, την σπάθην, την εκτεμούσαν τον Κοπρώνυμον, το ξίφος, το κατασφάξαν τον σπαθάριον, της Εκκλησίας το κλέος, ευσεβείας έρεισμα, δι' ης Χριστός ο Θεός, ειρήνην κατάπεμψον τω κόσμω, και μέγα έλεος.

Στ.: Θαυμαστός ο Θεός, εν τοις Αγίοις Αυτού.

Τίς σου, τα ανδρικά σκάμματα, διηγήσεται Θεοδοσία, ώσπερ εν διπλοίς αγωνίσμασιν, υπέρ του Χριστού του Νυμφίου σου, έτλης καρτερώς ανδρισαμένη, τα μεν, ως υπερβαλλόντως εξασκήσασα, τα δε, υπέρ της Εικόνος εναθλήσασα, Χριστού και πάντων Αγίων, την σφαγήν του κέρατος, δι' ης δαιμόνων οφρύν, Χριστός καταβέβληκεν ο έχων, το μέγα έλεος.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Δεύτε, φιλευσεβείς άραντες, επαινέσωμεν Θεοδοσίαν, την κεκοσμημένην τοις θαύμασι, και ηγλαϊσμένην ταις χάρισι, και Οσιομάρτυρα παρθένον, την στήλην, Ορθοδοξίας την υπέρλαμπρον, το κάλλος, των αρετών το ανυπέρβλητον, της Κωνσταντίνου το θρέμμα, οικουμένης στήριγμα, και εδραίωμα των πιστών, δι' ης ημίν δώρησαι οικτίρμον, το μέγα έλεος.

Δόξα. Ήχος πλ. β' .

Εκ δεξιών του Σωτήρος, παρέστης παρθένος, και Αθληφόρος και Μάρτυς, περιβεβλημένη ταις αρεταίς το αήττητον, και πεποικιλμένη ελαίω της αγνείας, και τω αίματι της αθλήσεως, και βοώσα προς Αυτόν, εν αγαλλιάσει, την λαμπάδα κατέχουσα· εις οσμήν μύρου Σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι της Σης αγάπης εγώ, μη χωρίσης με, Νυμφίε επουράνιε. Αυτής ταις ικεσίαις, κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ, τα ελέη Σου.

Και νυν. Θεοτοκίον.

Ο ποιητής και λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ της σης νηδύος προελθών, εμέ ενδυσάμενος, της πρώην κατάρας, τον Αδάμ ηλευθέρωσε· διο σοι Πάναγνε, ως του Θεού Μητρί τε και Παρθένω αληθώς, βοώμεν ασιγήτως, το

Χαίρε του Αγγέλου. Χαίρε Δέσποινα, προστασία και σκέπη, και σωτηρία των ψυχών ημών.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ'. Ταχύ προκατάλαβε.

Ως δόσιν θεόσδοτον, την παρθενίαν την σην, αγώσιν αθλήσεως, Θεοδοσία σεμνή, τω Λόγω προσήγαγες· όθεν προς αθανάτους, μεταστάσα νυμφώνας, πρέσβευε Αθληφόρε, τω Δεσπότη των όλων, ρυσθήναι εκ πολυτρόπων, ημάς συμπτώσεων.

Δόξα. Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ου αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν.

Κάθισμα της Αγίας.Ήχος α'. Τον τάφον σου Σωτήρ

Ως πάλαι Ιουδήθ, τον δεινόν Ολοφέρνην, και θεία Ιαήλ, τον αυθάδη Σισάραν, απέκτειναν κράτιστα, εν Θεώ δυναμούμεναι, ούτως ένδοξε, Θεοδοσία και συ γε, επαιρόμενον, κατά Θεού του Υψίστου, καθείλες σπαθάριον.

Δόξα... Και νυν... Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, και μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, προς την σην αγαθότητα· σε γαρ έχομεν, αμαρτωλοί προστασίαν, σε κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, την μόνην πανάμωμον.

Μετά την β' στιχολογίαν,

κάθισμα. Ήχος δ Ταχύ προκατάλαβε.

Την χάριν της πίστεως ενδεδυμένη καλώς, αγώνας ασκήσεως, και εν αθλήσει στερρά, Χριστόν μεγαλύνασα, όθεν Οσιομάρτυς, δεξαμένη το στέφος, άνωθεν εκ του Κτίστου, μη ελλείπης πρεσβεύειν, Θεοδοσία δούναι ημίν, χάριν και έλεος.

Δόξα. Και νυν. Θεοτοκίον.

Τον πάντων δεσπόζοντα και Βασιλέα Χριστόν, τεκούσα Πανύμνητε, δι’ ευσπλαγχνίαν πολλήν, χαράς πάντας έπλησας, Συ γαρ την λύπην πάσαν, της κατάρας αφείλες, Δέσποινα Θεοτόκε, τω ασπόρω Σου Τόκω, διο χαριστηρίους, ωδάς σοι προσάγομεν.

Μετά τον Πολυέλεον, κάθισμα. Όμοιον.

Οσίως ασκήσασα Θεοδοσία σεμνή, τον δρόμον τετέλεκας του Μαρτυρίου διπλούν, και στέφανον είληφας, έλαθες του βελίαρ, πολυπλόκους ενέδρας, έχεας και το αίμα, ένεκα του Χριστού σου, διο σε μακαρίζομεν, ως Αθληφόρον Χριστού

Δόξα. Και νυν. Θεοτοκίον.

Πολλαίς περιστάσεσι και συμφοραίς των δεινών, Παρθένε κυκλούμενοι και προς απόγνωσιν, αεί περιπίπτοντες, μόνην σε σωτηρίαν, και ελπίδα και τείχος, έχομεν Θεοτόκε, και προς σε κατά χρέος, εν πίστει και νυν αιτούμεν· Σώσον τους δούλους σου.

Το α’ ἀντίφωνον του δ’ ἤχου.

Προκείμενον: Υπομένων, υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της δεήσεώς μου.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

Ευαγγέλιον των Δέκα Παρθένων. Ζήτει Σάββατον ΙΖ έβδομάδος Ματθαίου

Ο Ν ψαλμός.

Δόξα: Ταις της Αθληφόρου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. α . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Την αγγελικήν πολιτείαν, και προ της αναστάσεως επιποθούσα, Θεοδοσία πανεύφημε, την παρθενίαν αμόλυντον ετήρησας, δι’ ης εν αγνεύοντι νοΐ, και λογισμώ ανεπιθολώτω, Θεώ τω καθαρώ ενουμένη, των ευθέων κατετρύφας χαρίτων εκάστοτε, αλλά και την λαμπάδα των έργων σου, άσβεστον κατέχουσα τω ελαίω της ευποιΐας, κατηξιώθης συνεισελθείν συν ταις φρονίμοις παρθένοις, εις τον Νυμφώνα τον ουράνιον. Ου της χαράς, και ημάς τους υμνούντάς σε, μετόχους γενέσθαι, ταις πρεσβείαις σου αξίωσον.

Οι Κανόνες· της Θεοτόκου· και της Αγίας β .

Ο α’ Κανών, ου η' Ακροστιχίς: Θεοδοσίας της Μάρτυρος μέλπω κλέος.

Ωδή α'. Ήχος δ'. Θαλάσσης το ερυθραίον

Θεός σοι Θεοδοσία γέγονεν, οδός αθλήσεως, επί Σταυρόν εκούσιον ελθών· καθελών γαρ τον τύραννον, ώσπερ στρουθίον παίζεσθαι, υπό Μαρτύρων απειργάσατο.

Ευτόνως Θεοδοσία πάντιμε, προς γην κατέρραξας, τον αρχηγόν της πλάνης καρτερώς, εναθλούσα πανεύφημε, και τον της νίκης στέφανον, ως νικηφόρος Μάρτυς είληφας.

Ο πάλαι μεγαλαυχία χρώμενος, νυν καταβέβληται, ση καρτερία Μάρτυς προσβαλών· του Σταυρού γαρ την δύναμιν, αναλαβούσα ήσχυνας, άμετρα τούτον φρυαττόμενον.

Θεοτοκίον

Δολίως εξαπατήσας όφις με, είλεν αιχμάλωτον, του θεωθήναι πόθον μοι ενθείς· δια σου δε Πανάχραντε, ανακληθείς τεθέωμαι, αναλλοιώτως αληθέστατα.

Έτερος Κανών, ου η ακροστιχίς: Θεοδοσία υμνώ ως Θεού δόσιν. Μελέτιος

Ωδή α . Ήχος πλ. α . Ίππον και αναβάτην.

Θείαν χάριν εξ ύψους, Θεοδοσία σεμνή, καταπέμψασα δίδου, αξίως ευφημήσαί σε, ουχ ίνα τη δόξη σου

προστιθώμεν, έπαινον, αλλ’ ημείς κοσμηθώμεν σε δοξάζοντες.

Ένδον εν τη καρδία, διατηρούσα το πυρ, της αγάπης Κυρίου, φλεγόμενον ουκ έπτηξας, τυράννων θρασύτητα τω Χριστώ δε, έλεγες, κραταιά ως θάνατος η αγάπη σου.

Όλβον εν τη ψυχή σου, συναγαγούσα πολύν, σωφροσύνην ανδρείαν, πτωχείαν τε εκούσιον, αυτόν εγκαθώρμισας εις λιμένα, εύδιον, σωτηρίας, εν ω επαναπέπαυσαι.

Θεοτοκίον.

Δέσποινα Συ τεκούσα, τον των απάντων Θεόν, εν αγνεία τας πύλας, της παρθενίας ήνοιξας, διο αι νεάνιδες οπίσω Σου έδραμον, Βασιλεί, των αιώνων ευφραινόμενα.

Ωδή γ'. Ευφραίνεται επί σοι.

Ο πόθος ο θεϊκός, Θεοδοσία σε πιστήν έδειξε, νύμφην Χριστού Μάρτυρα, τούτου τον Σταυρόν αγαπήσασαν.

Σαρκός την φθοροποιόν, καταλιπούσα ω σεμνή πρόνοιαν, ζωοποιώ Πνεύματι, ζης Θεοδοσία πανεύφημε.

Ιάτρευσόν μου τον νουν, θεοδωρήτω σου Σεπτή χάριτι, και την ψυχήν πάθεσιν, εκνενευρισμένην θεράπευσον.

Θεοτοκίον

Ανέστησας ω σεμνή, την πεπτωκυίάν μου μορφήν τέξασα, τον αρχηγόν Δέσποινα, της πάντων ημών αναστάσεως.

Έτερος. Ο πήξας επ’ ουδενός.

Οπλίσασα, σεαυτήν τη πίστει πανεύφημε, επελάβου πάντη, ως ήσθα φύσεως, λίαν ασθενούς και τρυφεράς, αλλ’ έδραμες γενναίως, προς τα παλαίσματα μη πτήξασα, των εικονομάχων το φρύαγμα.

Συνέθλασας, κατά γης το κέρας του όφεως, δια τούτο Μάρτυς, εκείνος όπλισε, το κέρας του ταύρου κατά σου, συ δε εν τη δυνάμει, του σου Νυμφίου εκεράτισας, δι’ αυτού εχθρών σου συστήματα.

Ιδούσα, τον δυσσεβή Εικόνων αντίπαλον, την Χριστού Εικόνα, καταβαλλόμενον, άνωθεν κατέρραξας αυτόν, εις πέταυρον του άδου, ειπούσα Λόγε εν τη Πόλει σου, την Εικόνα τούτου εξουδένωσον.

Θεοτοκίον.

Ασπόρως, τον του Θεού Υιόν απεκύησας, τον υιοθετούντα, δια βαπτίσματος, υιούς του Αδάμ τους εξ Εδέμ, ενδίκως εξωσθέντας, και τω Πατρί προσαναφέροντα, όθεν Σε Παρθένε δοξάζομεν.

Κάθισμα. Ήχος δ'. Ταχύ προκατάλαβε

Θεού δόσις πέφυκας, εικότως Μάρτυς σοφή, αθλήσει εκλάμπουσα, και παρθενίαις φαιδραίς, ακτίσι πυρσεύουσα, πάντων τας διανοίας, των αεί σε τιμώντων, πίστει Θεοδοσία, και την σην φαιδροτάτην, τελούντων επί γης εορτήν θεομακάριστε.

Δόξα... Και νυν... Θεοτοκίον.

Εκαίνισας Άχραντε, τω θείω Τόκω σου, φθαρείσαν τοις πάθεσι, των γηγενών την θνητήν, ουσίαν και ήγειρας, πάντας εκ του θανάτου, προς ζωήν αφθαρσίας· όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Ωδή δ'. Επαρθέντα σε ιδούσα

Σεσοβημένος ο τύραννος ταις αικίαις, καταπτοείν το εύτονον, της σης καρτερίας, ώετο ο δόλιος, αυτή δε Πανεύφημε· Δόξα τω Θεώ ανεκραύγαζες.

Την θεόσδοτον και θείαν προσηγορίαν, προγνωστικώς επλούτησας, Μάρτυς αθληφόρε· δόσις γαρ εγένου Θεώ, ημάς κατευφραίνουσα, πίστει σε και πόθω γεραίροντας.

Ηγλαϊσμένην θεόφρον Θεοδοσία, μαρτυρικού δι' αίματος, σου πεφοινιγμένην, περιβεβλημένη στολήν· Δραμούμαι οπίσω σου, πόθω του νυμφίου μου, έκραζες.

Θεοτοκίον

Σεσαρκωμένον τον Λόγον αγνή Παρθένε, θεοπρεπώς εγέννησας, και μένεις Παρθένος· όθεν ασιγήτοις φωναίς, το Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Έτερος. Την θείαν εννοήσας Σου.

Νοός σου την ανδρείαν εθαύμασαν, και οι πολέμιοι σεμνή, Θεοδοσία ορώντές σου, την ακατάπληκτον γνώμην, μεθ' ης ανδρειοφρόνως ενήθλησας.

Υπήρξας εν ασκήσει ως πρόβατον, εν ταπεινώσει της ψυχής, των αρετών εν δε πάλη, τη των εικονομάχων ως λέων δεινός.

Μεγάλως εδοξάσθης αείμνηστε, καταβαλούσα των εχθρών, τας μηχανάς και τας κλίμακας, εν τη δυνάμει του πάλαι, τον πύργον της Χαλάνης συγχέαντος.

Θεοτοκίον.

Νοήσαι το μυστήριον άχραντε, το επί Σοι οι γηγενείς, μη εξισχύοντες σέβομεν, αυτό εν πίστει σιγώντες, και δόξαν τω Κυρίω προσάγοντες.

Ωδή ε'. Συ Κύριέ μου φως

Μύρον εκκενωθέν, τον Χριστόν αγαπήσασαι, νεάνιδες θεοφρόνως, ηκολούθησαν τούτω, εν άσμασι δοξάζουσαι.

Αιώνιον ζωήν, χρονικής ανταλλάξασα, ανθ' αίματος βραχυτάτου, ουρανών βασιλείαν, η Μάρτυς εκληρώσατο.

Ρέουσιν ως πηγαί, των Μαρτύρων τα λείψανα, ιάματα τοις νοσούσι, και ψυχών αρρωστίας, τη πίστει θεραπεύουσι.

Θεοτοκίον

Τίς δύναται το σον, ερμηνεύσαι μυστήριον, Πανάμωμε; τον γαρ Κτίστην, μη χωρούμενον πάσιν, εν μήτρα σου εχώρησας.

Έτερος. Ο αναβαλλόμενος.

Ώσπερ ρόδον εύοσμον, συ κατεκάλλυνας, την σην πατρίδα, Οσιομάρτυς, ρείθροις των αιμάτων σου, Σιών δεν την άνω, προσθήκην ση εδόξασας.

Ωρμήσας προς πόλεμον, γυνή η άμαχος, μάχιμον γαρ σε, το θείον Πνεύμα, ειργάσατο όπως αν, δια σου Εικόνων, την άμυναν ποιήσηται.

Σύντριψον ως τάχιστα, το κέρας ένδοξε, των υβριζόντων, σεπταίς Εικόσι, και το κέρας ύψωσον, των ορθοδοξούντων, σαις ικεσίαις πάνσεμνε.

Θεοτοκίον.

Θλίψεσι βαλλόμενος, απείροις πάναγνε, εις Σε προστρέχω, μη μου παρίδης, στεναγμόν και δάκρυα, η παραμυθία, του κόσμου Συ με οίκτειρον.

Ωδή ς'. Θύσω σοι, μετά φωνής

Υπέρ σου, μετά σπουδής τον θάνατον είλετο, Θεοδοσία η Μάρτυς, απειλάς τυράννων μη πτοηθείσα, το σον πάθος, μιμουμένη Χριστέ το εκούσιον.

Ραδίως, τω Σταυρώ σου γυναίκες ρωννύμεναι, τας κεφαλάς των δρακόντων, ώσπερ έφης Σώτερ καταπατούσι, τω σω πόθω, τετρωμέναι και θείω σου έρωτι.

Θεοτοκίον

Όλην σε, περιστεράν τελείαν και άμωμον, και τηλαυγέστατον κρίνον, και κοιλάδων άνθος ω Θεομήτορ, ο νυμφίος, ο νοητός ευρών σοι εσκήνωσεν.

Έτερος. Μαινομένην κλύδωνι.

Έζησας ως άσαρκος, των Αγγέλων βίου αληθώς, το θανείν δε ήλεγξε σε φύσεως, ούσα θνητής, και συν Αγγέλοις ομόσκηνον.

Όλην ανατέθεικας, σεαυτήν τω Πλάστη και Κριτή, δια τούτο κόσμον εγκατέλιπες, και τω Σταυρώ, τω του Χριστού συνεσταύρωσαι.

Ύλην την του σώματος, προσλαβόντα τον Δημιουργόν, προσεκύνεις θείοις εν μορφώμασι, δι’ α δεκτόν, θύμα Αυτώ προσενήνεξαι.

Θεοτοκίον.

Δώρον επουράνιον, ο Θεός Σε δέδωκεν εν γη, τη βροτεία φύσει Μητροπάρθενε, ίνα ημάς, εκ γης ανάξης προς Κύριον.

Κοντάκιον. Ήχος β'. Τα άνω ζητών

Τοις πόνοις ζωήν, την άπονον κεκλήρωσαι, τοις αίμασι δε, τον Λέοντα απέπνιξας, τον εχθρόν τον βέβηλον, Εκκλησίας Χριστού πανεύφημε, και αυτώ συγχαίρουσα νυν, δυσώπει απαύστως υπέρ πάντων ημών.

Ο Οίκος.

Θεοδοσίας τους θείους πόνους, ποία γλώσσα ανθρώπων, εξισχύσει ποτέ, προς έπαινον διηγήσασθαι; Όμως ημείς, οι λόγοις αχρείοι, και ηδονών ατοπίαις δουλεύοντες, κατά δύναμιν υμνήσαι, ταύτην προεθυμήθημεν, ασκήσει γαρ το πρότερον, τα πάθη καταβαλούσα, και ύστερον δια κέρατος,

του Μαρτυρίου τον στέφανον κομισάμενη, συν ταις άνω χαίρει στρατιαίς, τους εκτελούντας, την μνήμην αυτής σκέπουσα.

Συναξάριον.

Τη ΚΘ του αυτού μηνός, μνήμη της Αγίας Οσιομάρτυρος Θεοδοσίας, της Κωνσταντινουπολιτίσσης και των συν αυτή.

Στίχοι:

Κέρας κριου κτείνάν σε, Θεοδοσία,

ώφθη νέον σοι της Αμαλθείας κέρας.

Ωδή ζ'. Εν τη καμίνω

Σε θεοσδότοις, κεκοσμημένην Μάρτυς κάλλεσι, πίστει θεωρούντες ύμνοις ειλικρινώς, τω νυμφίω σου κραυγάζομεν· Ευλογημένος ει εν τω ναώ, της δόξης σου Κύριε.

Μετά παρθένων, λαμπαδηφόρος εις ουράνιον, Μάρτυς νυν παστάδα χαίρουσα τω Χριστώ, εισελήλυθας κραυγάζουσα· Ευλογημένος ει εν τω ναώ της δόξης σου Κύριε.

Θεοτοκίον

Επί του θρόνου, του επηρμένου ο καθήμενος, θρόνον σε επί γης Παρθένε θεοπρεπή, ευρηκώς επαναπαύσατο· Ευλογημένη συ εν γυναιξί, πανάμωμε Δέσποινα.

Έτερος. Ο υπερυψούμενος.

Ο Πλάστης της κτίσεως, εξ οστέων έπλασε, το θήλυ δεικνύμενος, ως δύναμιν έθηκε, και φύσει ασθενούση, προς τους άθλους προσχωρούση.

Σε ως προστασίαν μου, εις Θεόν προβάλλομαι, μη παύση πρεσβεύουσα, κινδύνων ρυσθήναί με, και πάσης επηρείας, των εχθρών Θεοδοσία.

Ιατρείον άμισθον, ο ναός σου πάνσεμνε, εδείχθη τοις κάμνουσι, παντοίοις νοσήμασιν, εις ον προσπεφευγότες, ανυμνούμέν σε προθύμως.

Θεοτοκίον.

Νέον βρέφος έτεκες, τον Θεόν τον άναρχον, Παρθένε πανάμωμε, διο με γηράσαντα, παντοίαις αμαρτίαις, ανακαίνισον λιταίς Σου.

Ωδή η'. Χείρας εκπετάσας Δανιήλ.

Λυθείσα δεσμών των της σαρκός, Θεοδοσία σεμνή, ανέπτης χαίρουσα, προς φωτεινόμορφον θάλαμον, νυμφικώς περιχορεύουσα, και μαρτυρίου φοινικώ αίματι στίλβουσα, και βοώσα· Πάντα τα έργα υμνείτε τον Κύριον.

Παστάδα ουράνιον οικείν, κατηξιώθης φαιδρώς, Θεοδοσία σεμνή, διαιωνίζουσαν εύκλειαν, ευραμένη παναοίδιμε, και

της ανδρείας σου καρπόν όντως πλουτήσασα· Ευλογείτε, πάντα τα έργα βοώσα τον Κύριον.

Ωράθης φερώνυμος σαφώς, Θεοδοσία σεμνή· Θεού γαρ δόσις ημίν, αρίστη δέδοσαι πάνσοφε, δωρεών των υπέρ έννοιαν, αναδιδούσα ποταμούς τοις πίστει μέλπουσιν· Ευλογείτε, πάντα τα έργα Κυρίου τον Κύριον.

Θεοτοκίον

Κυρίως γεννήσασα Θεόν, κυρίως πάναγνε, Μήτηρ εδείχθης Θεού, επαληθεύουσαν φέρουσα, καταλλήλως τω γεννήματι, θεωνυμίαν, οι πιστοί· όθεν δοξάζομεν, Θεοτόκον, σε θεοφρόνως πανάμωμε Δέσποινα.

Έτερος. Σοι τω Παντουργώ εν τη καμίνω.

Μέλισσα σοφή, Θεοδοσία ώφθης, συλούσα τα εύοσμα, άνθη του μέλιτος, τας εναρέτους πράξεις, πάντων Αγίων, και αποτιθείσα, τω σίμβλω σης καρδίας.

Εύας πτερνιστήν, συ επτερνίσω Μάρτυς, σατάν τον πολέμιον, και γαρ κατέρραξας, εις γην εξ ύψους, ως αστραπήν πεσόντα, συν τοις διακόνοις, αυτού τοις επαράτοις.

Λύχνον σοις ποσί, διακρατούσα Μάρτυς, και φως εν ταις τρίβοις σου, νόμον τον ένθεον, απλανώς ήκες, εις Μονάς ουρανίους, εν αις απολαύεις, τας αμοιβάς των πόνων.

Τριαδικόν.

Ένα εν Τρισί, Θεόν υμνώ προσώποις, αμέριστον σύνθρονον, και συναΐδιον, Πατέρα Λόγον, και Άγιον Πνεύμα, εν μια Ουσία, Θεότητι και δόξη.

Ωδή θ'. Λίθος αχειρότμητος

Λύσον τας σειράς των πταισμάτων, των ευσεβώς σε ανυμνούντων, ταις σαις ικεσίαις θεόφρον, Θεοδοσία Μάρτυς πανεύφημε, Θεώ τω παντοκράτορι, παρισταμένη πανσεβάσμιε.

Εύας της προμήτορος πόθον, επιτηδείως εκομίσω, νεύσει προς Θεόν θεουμένη, και γενομένη θεία μεθέξει Θεός· διο σε παμμακάριστε, Θεοδοσία μακαρίζομεν.

Όλος γλυκασμός χρηματίζει, ο σος νυμφίος αθληφόρε, όλος ψυχική θυμηδία, Θεοδοσία Μάρτυς υπάρχει Χριστός, ούπερ νυν απολαύουσα, ταις σαις πρεσβείαις ημών μέμνησο.

Θεοτοκίον

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα Λόγος, εν σοι κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, και Θεοτόκον έδειξεν, επ' αληθείας Μητροπάρθενε.

Έτερος. Ησαΐα χόρευε.

Τω ελαίου κέρατι, βασιλείς, εχρίοντο το πριν, λαμβάνοντες Θεού, χάριν δαψιλή, εκ τούτου βασίλισσα, συ δε σεμνή κέχρισαι καλώς, ταύρου τω κέρατι, και αιμάτων προσχύσεσι.

Ισχυρώς κατέρραξας, παλαμναίον, δράκοντα εις γην, τοις άθλοις τοις σεπτοίς, και ασκητικοίς, αγώσί σου πάνσεμνε, διο Χριστώ τω Παμβασιλεί, νίκης τω στέμματι, κοσμουμένη νυν παρίστασαι.

Όλην σου την έφεσιν, προς το άκρον, πάντων ορεκτών, ιθύνασα σεμνή τούτω εντρυφάν, ηξίωσαι χαίρουσα, διηνεκώς ω παρεστώσα νυν, καθικέτευε, σωθήναι ημάς.

Θεοτοκίον.

Σωτηρίας ήνεγκας, εις τον κόσμον, τέξασα Θεόν, τον σώζοντα ημάς, εξ αμαρτιών, και πάσης κολάσεως, Ιησούς γαρ όνομα Αυτώ, όθεν κυρίως Σε, Θεοτόκον καταγγέλομεν.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Μαρτύρων σεμνολόγημα, και Αθλοφόρων καύχημα, Θεοδοσία θεόφρον, πρεσβεύουσα μη ελλίπης, Χριστώ τω Αθλοθέτη σου, υπέρ των εκτελούντων νυν, την φωτοφόρον μνήμην σου, και σε τιμώντων εκ πόθου, πανεύφημε Αθλοφόρε.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, της αχωρήτου Τριάδος, δοχείον γεγενημένη, εν ω Πατήρ ηυδόκησεν, ο δε Υιός εσκήνωσε, και Πνεύμα το πανάγιον, επισκιάσαν σοι Κόρη, ενέδειξε Θεοτόκον.

Αίνοι. Ήχος πλ. β' . Όλην αποθέμενοι.

Ηλίου φαιδρότερον, η πανσεβάσμιος μνήμη, σήμερον εξέλαμψε, της Οσιομάρτυρος, δεύτε δράμωμεν, τα πολλά θαύματα, και τας αριστείας, και τους πόνους της ασκήσεως, εγκωμιάζοντες, και τον δια κέρατος θάνατον, προθύμως ον υπέμεινας, υπέρ της Εικόνος του Κτίσαντος, ταύτην συνελθόντες, υμνήσωμεν εν άσμασι πιστοί, Θεοδοσίαν την ένδοξον, και αειμακάριστον. (Δις)

Επέλαμψε σήμερον, εαρινή θυμηδία, τας ψυχάς φωτίζουσα, και σωμάτων κάκωσιν, αφανίζουσα, το διπλούν

έαρ γαρ, της Θεοδοσίας, νυν η μνήμη εξανέτειλεν, δεύτε συνδράμωμεν, οι κεκακωμένοι ταις θλίψεσι, και νόσοις εκτρυχόμενοι, και εκ της σορού απαντλήσωμεν, ίασιν παντοίαν, δοξάζοντες Χριστόν τον δι' αυτής, επιτελούντα θαυμάσια, εν πάσι τοις πέρασιν.

Γλυκύ το ποτήριον, της του Χριστού μαρτυρίας, καν άλλως σκευάζηται, εκ πασών των θλίψεων, και κακώσεων, αλλ' η ση αίσθησις, ω Θεοδοσία, υπερβάσα τα ορώμενα, και τα κατ' αίσθησιν, τούτου αισθομένη του έρωτος, ηδέως τούτο έπιες, δια πικροτάτου του κέρατος, όθεν συνελθόντες, την μνήμην σου τελούντες οι πιστοί, και ικετεύομεν πρέσβευε, υπέρ των ψυχών ημών.

Δόξα. Ήχος πλ. δ' .

Ω της του Σταυρού σου ισχύος Παντοδύναμε Κύριε, ότι το πάθημα του θανάτου, εκ της ασθενείας της εμής σαρκός καταδεξάμενος, τη της Θεότητός σου δυνάμει, την ημετέραν ενεδυνάμωσας ασθένειαν. Και γαρ ως ο πάλαι Αδάμ, οστούν κραταιότητος, τω ασθενεστέρω σκεύει δανείσας, σάρκα ταπεινήν εδέξω αντ' αυτού, διο και απαλή κόρη, κατά του αρχεκάκου δράκοντος ανδριζομένη, και τούτου την αλαζονείαν καταπατήσασα, δοξάζει Σε τον

μόνον αγωνοθέτην, και στεφοδότην Κύριον, τον παρέχοντα ταις ψυχαίς ημών, το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού του υψίστου, σων οικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν των πταισμάτων, νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάριον

Δόσει λαμπρυνθείσα παρθενική, δόσιν ευσεβείας διαυγάζεις αθλητικώς, ω Θεοδοσία, Χριστού Παρθενομάρτυς: διο καμοί μετάδος, εκ των σων δόσεων

